e | rara

www.e-rara.ch

# Diodori Siculi bibliothecae historicae quae supersunt

**Diodorus**

**Lipsiae, [17--]**

**ETH-Bibliothek Zürich**

Shelf Mark: Rar 8145

Persistent Link: https://doi.org/10.3931/e-rara-33647

Inhaltsverzeichnis

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d’imprimés conservés dans les bibliothèques de Suisse. L’éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l’imprimerie jusqu’au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Visual Library

# ΤΑΔΕ ΕΝΕΣΤΙΝ
## ΕΝ ΤΗι ΤΕΣΣΑΡΕΣΚΑΙΔΕΚΑΤΗι
# ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΒΙΒΛΩΝ.

---


ά. Κατάλυσις ἐν Ἀθήναις τῆς δημοκρατίας, καὶ κατάστασις τριάκοντα ἀνδρῶν.

β'. Παρανομία τῶν τριάκοντα ἀνδρῶν εἰς τοὺς πολίτας.

γ'. Ὡς Διονύσιος ὁ τύραννος ἀκρόπολιν κατασκευάσας, διεμέρισε τὴν πόλιν καὶ τὴν χώραν τοῖς πλήθεσιν.

δ'. Ὡς Διονύσιος παραλυομένην τὴν τυραννίδα παραδόξως αὐτὴν ἀνεκτήσατο.

έ. Ὡς Λακεδαιμόνιοι διῴκησαν τὰ κατὰ τὴν Ἑλλάδα.

ς'. Ἀλκιβιάδου θάνατος, καὶ Κλεάρχου τοῦ Λάκωνος τυραννὶς ἐν Βυζαντίῳ, καὶ κατάλυσις.

ζ'. Ὡς Λύσανδρος ὁ Λακεδαιμόνιος ἐπιβαλόμενος καταλῦσαι τοὺς ἀφ' Ἡρακλέους, ἀπέτυχεν.

ή. Ὡς Διονύσιος Κατάνην μὲν καὶ Νάξον ἐξηνδραποδίσατο, Λεοντίνους δὲ μετῴκισεν εἰς Συρακούσας.

θʹ. Κτίσις Ἀλαίσης ἐν τῇ Σικελίᾳ.

ιʹ. Λακεδαιμονίων πρὸς Ἠλείους πόλεμος.

ιαʹ. Ὡς Διονύσιος τὸ πρὸς τοῖς Ἑξαπύλοις τεῖχος κατεσκεύασεν.

ιβʹ. Ὡς Κῦρος στρατεύσας ἐπὶ τὸν ἀδελφὸν ἀνῃρέθη.

ιγʹ. Ὡς Λακεδαιμόνιοι τοῖς κατὰ τὴν Ἀσίαν Ἕλλησιν ἐβοήθησαν.

ιδʹ. Κτίσις Ἀδρανοῦ κατὰ τὴν Σικελίαν, καὶ Σωκράτους τοῦ φιλοσόφου θάνατος.

ιεʹ. Κατασκευὴ τοῦ περὶ τὴν Χεῤῥόνησον τείχους.

ιςʹ. Παρασκευὴ Διονυσίου πρὸς τὸν Καρχηδονιακὸν πόλεμον, καὶ ὁπλοποιΐα, καθ᾽ ἣν εὗρε τὸ καταπελτικὸν βέλος.

ιζʹ. Ὡς Καρχηδονίοις καὶ Διονυσίῳ πόλεμος ἐνέστη.

ιηʹ. Ὡς Διονύσιος Μοτύην πόλιν ἐπίσημον Καρχηδονίων ἐξεπολιόρκησεν.

ιθʹ. Ὡς Αἰγεσταῖοι τὴν Διονυσίου παρεμβολὴν ἐνέπρησαν.

κʹ. Ὡς Καρχηδόνιοι τριάκοντα μυριάσι διαβάντες εἰς τὴν Σικελίαν, ἐπολέμουν πρὸς Διονύσιον.

καʹ. Διονυσίου ἀποχώρησις εἰς τὰς Συρακούσας.

κβʹ. Καρχηδονίων στρατεία ἐπὶ τὸν πόλεμον, καὶ ἅλωσις τῆς Μεσσήνης.

κγʹ. Ναυμαχία Καρχηδονίων πρὸς Διονύσιον μεγάλη, καὶ νίκη Καρχηδονίων.

κδ'. Σύλησις τῶν νεῶν τῆς τε Δήμητρος καὶ Κόρης ὑπὸ Καρχηδονίων.

κέ. Κόλασις ἐκ θεῶν τῶν ἱεροσύλων, καὶ φθορὰ τῆς Καρχηδονίων δυνάμεως ὑπὸ νόσου λοιμικῆς.

κς'. Ναυμαχία Συρακουσίων πρὸς Καρχηδονίους, καὶ νίκη Συρακουσίων.

κζ'. Δημηγορία Θεοδώρου περὶ τῆς ἐλευθερίας.

κη'. Ὡς Διονύσιος τοὺς ταραχωδεστάτους χιλίους μισθοφόρους καταστρατηγήσας, ἐποίησε κατακοπῆναι.

κθ'. Ὡς Διονύσιος τὰ φρούρια καὶ τὴν παρεμβολὴν τῶν Καρχηδονίων ἐπολιόρκησεν.

λ'. Ὡς Διονύσιος ἐκπολιορκήσας Καρχηδονίους, πολλὰς τῶν πολεμίων ναῦς ἐνέπρησεν.

λά. Καρχηδονίων ἧττα κατὰ γῆν ἅμα καὶ κατὰ θάλατταν.

λβ'. Στόλος τῶν Καρχηδονίων νυκτός, Διονυσίου συνεργήσαντος, λάθρα τῶν Συρακουσίων, ἐπὶ τετρακοσίοις ταλάντοις.

λγ'. Τὰ συμβάντα Καρχηδονίοις δυσχερῆ διὰ τὴν εἰς τὸ θεῖον ἀσέβειαν.

λδ'. Συνοικισμὸς τῶν κατὰ τὴν Σικελίαν ἀναστάτων γεγενημένων πόλεων.

λέ. Ὡς Διονύσιος τῶν Σικελικῶν πόλεων ἃς μὲν ἐξεπολιόρκησεν, ἃς δὲ εἰς συμμαχίαν προσηγάγετο.

λς'. Ὡς πρὸς τοὺς δυνάστας Ἄγυρίν τε τὸν Ἀγυρηναῖον, καὶ Νικόδημον τὸν Κεντοριπῖνον φιλίαν συνέθετο.

λζ΄. Ὡς Ἀγησίλαος ὁ τῶν Σπαρτιατῶν βασιλεὺς μετὰ δυνάμεως εἰς τὴν Ἀσίαν διέβη, καὶ τὴν ὑπὸ Πέρσας τεταγμένην χώραν ἐπόρθησεν.

λή. Ὡς Ἀγησίλαος ἐνίκησε μάχῃ τοὺς Πέρσας, ἡγουμένου Φαρναβάζου.

λθ΄. Περὶ τοῦ Βοιωτικοῦ πολέμου, καὶ τῶν πραχθέντων ἐν αὐτῷ.

μ΄. Ὡς Κόνων ὑπὸ Περσῶν κατασταθεὶς στρατηγός, τὰ τείχη τῶν Ἀθηναίων ἀνῳκοδόμησεν.

μά. Ὡς περὶ Κόρινθον Λακεδαιμόνιοι Βοιωτοὺς ἐνίκησαν, καὶ ὁ πόλεμος οὗτος ἐκλήθη Κορινθιακός.

μβ΄. Ὡς Διονύσιος μετὰ πολλῶν κινδύνων παρειςπεσὼν εἰς τὸ Ταυρομένιον, ἐξέπεσεν.

μγ΄. Ὡς Καρχηδόνιοι περὶ πόλιν Βάκαιναν ἡττήθησαν ὑπὸ Διονυσίου.

μδ΄. Στρατεία Καρχηδονίων εἰς Σικελίαν, καὶ κατάλυσις τοῦ πολέμου.

μέ. Ὡς Θίβρος ὁ Λακεδαιμόνιος ὢν στρατηγὸς ὑπὸ Περσῶν ἡττηθεὶς ἀνῃρέθη.

μς΄. Ὡς Διονύσιος Ῥήγιον ἐπολιόρκησεν.

μζ΄. Ὡς οἱ κατὰ τὴν Ἰταλίαν Ἕλληνες εἰς μίαν πολιτείαν συστάντες, ἀντετάξαντο πρὸς Διονύσιον.

μή. Ὡς Διονύσιος νικήσας τῇ μάχῃ, καὶ μυρίους αἰχμαλώτους λαβών, ἀπέλυσεν ἄνευ λύτρων, καὶ ταῖς πόλεσιν αὐτονομεῖσθαι συνεχώρησε.

μθ΄. Καυλωνίας καὶ Ἱππωνίου ἅλωσις καὶ κατασκαφή, καὶ μετοίκησις εἰς Συρακούσας.

*ν'. Ὡς οἱ Ἕλληνες πρὸς Ἀρταξέρξην εἰρήνην ἐποιήσαντο τὴν ἐπὶ Ἀνταλκίδου.*

*νά. Ῥηγίου ἅλωσις, καὶ τὰ περὶ τὴν πόλιν ἀτυχήματα.*

*νβ'. Ἅλωσις Ῥώμης ὑπὸ Γαλατῶν, πλὴν τοῦ Καπετωλίου.*

---